www.tezaurliturgic.ro

ΑΡΧΙΜ. ΝΙΚΟΔΗΜΟΥ Γ. ΑΕΡΑΚΗ
ΙΕΡΟΚΗΡΥΚΟΣ

# ᾈΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΙΕΡΑ ΠΑΡΑΚΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΧΡΗΣΤΟΥ ΤΟΥ ΕΚ ΠΡΕΒΕΖΗΣ

Οὗ ἡ μνήμη τελεῖται τῇ ε΄ Αὐγούστου




ΑΘΗΝΑΙ 2005

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια.**

**Ἦχος α΄.** *Τῶν οὐρανίων ταγμάτων.*

Τὸν νεομάρτυρα Χρῆστον πάντες τιμήσωμεν, Πρεβέζης θεῖον γόνον, καὶ Ἠπείρου τὸ κλέος. Κύριον τῆς δόξης· καὶ γὰρ αὐτός, ἀσεβέσιν ἐκήρυξε· διὸ ἐτύθη ὡς πρόβατον ὑπ' αὐτῶν, δοξασθεὶς ὡς μάρτυς ἔνθεος.

Τῆς Ἐκκλησίας Πρεβέζης τὸ ἐγκαλλώπισμα, εὐφημήσωμεν Χρῆστον, ἐν ᾠδαῖς ἐγκωμίων· λόγοις τε καὶ ἔργοις, τὸν Ἰησοῦν, ὡς Θεὸν ὡμολόγησεν, καὶ καθυπέμεινε πόθῳ τοὺς αἰκισμούς, καὶ μαρτύριον πανθαύμαστον.

Ἡ νῆσος Κῶς σὺν Πρεβέζῃ πανηγυρίζουσι, νεομάρτυρος Χρήστου, ἑορτάζουσαι μνήμην· οὗτος γὰρ ἐτύθη, ὑπὲρ Χριστοῦ, καὶ ἐστέφθη ἐν χάριτι, ὡς ἀδελφὸς Πρωτοτόκων ἐν οὐρανοῖς, αἰωνίως ἀγαλλόμενος.

Ἐν εὐφροσύνῃ ὑμνήσωμεν Νεομάρτυρα, Πρεβέζης τὸν προστάτην, καὶ Ἠπείρου μεσίτην, πάντων ἀθλουμένων, τὸν βοηθόν, καὶ πιστῶν ἀντιλήπτορα, ὁμολογούντων πανθαύμαστον ἀρωγόν, καὶ μαρτύρων θεῖον πρότυπον.

**Δόξα. Ἦχος β΄.**

Δεῦτε φιλομάρτυρες πάντες, ἐν ἐγκωμίων ἄνθεσιν, τὸν τοῦ Κυρίου καλλίνικον νεομάρτυρα Χρῆστον, εὐφραινόμενοι εὐφημήσωμεν·

www.tezaurliturgic.ro



οὗτος γὰρ Ἀγαρηνῶν ἀθέων, τὴν ἄθεσμον βουλήν, δι' ὁμολογίας ἐνθέου, καὶ ἐμμονῆς τῇ πίστει στεῤῥᾶς, ἀνδρικῶς κατέβαλεν· ὅθεν διὰ μαρτυρίου ἐδόξασεν τὸν αὐτὸν ἀντιδοξάσαντα, Χριστὸν τὸν Θεάνθρωπον.

**Καὶ νῦν. Προεόρτιον.**

**Ἦχος β΄.** *Οἶκος τοῦ Ἐφραθᾶ.*

Φύσιν τὴν ἐξ Ἀδάμ, Χριστός ἀμεῖψαι θέλων, ἐν ὄρει νῦν ἀπαίρει, Θαβὼρ παραγυμνώσων τοῖς μύσταις τὴν θεότητα.

**Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.**

**Ἦχος β΄.** *Οἶκος τοῦ Ἐφραθᾶ.*

Χρῆστον τὴν τοῦ Χριστοῦ, Ἁγίαν Ἐκκλησίαν, δοξάσαντα ἐν ἔργοις, τιμήσωμεν ἐν ὕμνοις, καὶ λόγοις μεγαλύνωμεν.

**Στίχος.** *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.*

Πρέβεζα ἐν χαρᾷ, εὐφήμησον, σὸν τέκνον, Χρῆστον μαρτύρων δόξαν, καὶ Κῶ συνεπαγάλλου· ἐν σοὶ γὰρ ἐμαρτύρησεν.

**Στίχος.** *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Δεῦτε τοῦ Ἰησοῦ, τὸν μάρτυρα καὶ κλέος, Πρεβέζης ὄντως θεῖον, ᾠδαῖς καὶ εὐφημίαις, ἐμφρόνως ἀνυμνήσωμεν.

**Δόξα. Τριαδικόν. Ὅμοιον.**

Δόξα σοι Παντουργέ, Τριὰς ὑπεραγία, ἡ τὸν Πρεβέζης γόνον, εἰς σὴν ὁμολογίαν, πανθαυμαστῶς στηρίξασα.

**Καὶ νῦν. Προεόρτιον.**

Σῆμα θεοπρεπές, Θεότητος δεικνύει, πρὸ τοῦ Σταυροῦ τοῖς μύσταις, ὡς ἥλιος ἐκλάμψας, Χριστός ἐν ὄρει σήμερον.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καὶ Ἀπόλυσις.**

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν στιχολογοῦμεν τὴν α΄ στάσιν τοῦ, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**

**Ἦχος δ΄.** *Ἔδωκας σημείωσιν.*

Χρῆστον τὸν καλλίνικον, Πρεβέζης γόνον τὸν ἔνδοξον, εὐφημήσωμεν ᾄσμασιν, πιστῶν τὸ ἐντρύφημα, τῶν μαρτύρων δόξαν, ἀγωνιζομένων, στῦλον καὶ ἔρεισμα στεῤῥόν, διωκομένων φρουρὸν πανάριστον, Ἠπείρου ἐγκαλλώπισμα, καὶ Ἐκκλησίας τὸ καύχημα, τὸν Χριστοῦ νέον μάρτυρα, οὐρανῶν τὸν οἰκήτορα.

Μάρτυρα τῆς πίστεως, Χρῆστον Πρεβέζης τὸ καύχημα, εὐφροσύνως γεραίρομεν, λαμπρῶς ἐκνικήσαντα, ἀσεβῶν τὴν πλάνην, καὶ τὰς δυσσεβείας, Ἀγαρηνῶν καὶ ἀπειλάς, βασανιστῶν τε σκληρὰν ὠμότητα· διὸ ὡς νεομάρτυρα, Χριστὸς ἐνδόξως ἐτίμησε, καὶ αὐτῷ ἐδωρήσατο, βασιλείαν αἰώνιον.

Ὕμνοις εὐφημήσωμεν, Χρῆστον πιστῶν τὸ ἀγλάισμα, τῶν μαρτύρων τὸ πρότυπον, Πρεβέζης τὸ καύχημα, καὶ τῆς Κῶ τὸ κλέος, τῶν ἐναθλουμένων, τὸν ἀκραιφνῆ ὑπογραμμόν, καὶ μαρτυρίας λαμπρὸν ὑπόδειγμα, Ἠπείρου δὲ τὸ στήριγμα, τῶν ὀρθοδόξων τὸ ἔρεισμα, τῶν πιστῶν καταφύγιον, Ἐκκλησίας τὸ κόσμημα.

**Δόξα. Ἦχος πλ. β΄.**

Σήμερον οἱ πιστοὶ συνελθόντες, ἐν χαρᾷ ἀνεκλαλήτῳ, καὶ ὕμνοις ἐνθεαστικοῖς, τὴν τοῦ νεομάρτυρος Χρήστου, μαρτυρικὴν τελείω-

www.tezaurliturgic.ro



σιν, πανηγυρικῶς ἐπιτελοῦντες βοῶμεν πρὸς αὐτόν· χαίροις ὁ τῆς Πρεβέζης εὔχυμος καρπός, καὶ τῆς Ἠπείρου ἱερὸν ἐγκαλλώπισμα· χαίροις τῆς ὀρθοδόξου βιοτῆς ἀληθὴς ὑπογραμμός, καὶ τῆς σωτηρίου πίστεως τῆς Ἐκκλησίας, ὁ ἀκριβὴς δι' ἔργων τηρητής· χαίροις τῆς εὐσεβείας ὁ κήρυξ καὶ ὁ διαπρύσιος ὁμολογητής, καὶ τῆς μαρτυρίας αὐτῆς τὸ πρότυπον· Μάρτυς τοῦ Χριστοῦ ἅγιε Χρῆστε ἱκέτευε Αὐτόν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Προεόρτιον.**
**Ἦχος πλ. α'.**

Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ ἡμῶν, καὶ θεασώμεθα τὴν δόξαν τῆς Μεταμορφώσεως αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός· φωτὶ προσλάβωμεν φῶς· καὶ μετάρσιοι γενόμενοι τῷ πνεύματι, Τριάδα ὁμοούσιον ὑμνήσωμεν εἰς τοὺς αἰῶνας.

**Εἴσοδος. Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας**

**καὶ τὰ Ἀναγνώσματα.**

**Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.**
**(Κεφ. μγ', 9-14)**

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

www.tezaurliturgic.ro



## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

(Κεφ. γ΄, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

(Κεφ. ε΄, 15 - ς΄, 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γε-

www.tezaurliturgic.ro



γαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Εἰς τὴν Λιτήν

### Ψάλλομεν Στιχηρὰ Ἰδιόμελα.

### Ἦχος α΄.

Πανήγυριν πνευματικήν, καὶ ἑορτὴν χαρμόσυνον, ἐπὶ τῇ μνήμῃ τοῦ νεομάρτυρος Χρήστου, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, εὐφραινομένη λαμπρῶς ἐπιτελεῖ. Οὗτος γὰρ ἐκ τῆς πόλεως Πρεβέζης ὁρμώμενος, ἐν τῇ νήσῳ Κῷ, διὰ τὴν τοῦ Χριστοῦ πίστιν καὶ ὁμολογίαν, τὴν τιμίαν αὐτοῦ κεφαλὴν ἀπετμήθη. Ὅθεν στεφηφορῶν, εἰς τὰ οὐράνια δώματα κατέπαυσεν, ἐν σαββατισμῷ παναληθεῖ, αἰωνίως τοῖς Πρωτοτόκοις μάρτυσιν συναγαλλόμενος.

### Ἦχος β΄.

Δεῦτε φιλομάρτυρες πάντες, πνευματικῶς εὐωχηθῶμεν, κεκλημένοι ὑπὸ τοῦ πανενδόξου μάρτυρος Χρήστου, εἰς τὴν οὐράνιον αὐτοῦ τράπεζαν. Πρόκεινται ἡμῖν αἱ ἀρεταὶ αὐτοῦ, ὡς θεῖα ἐδέσματα κατευφραίνουσαι τὰς ψυχὰς ἡμῶν. Ἡ ἀπαστράπτουσα τῆς καρδίας καθαρότης, ἡ ἔκπαγλος τοῦ ἤθους σεμνότης, ἡ θεοδώρητος εὐλάβεια καὶ ἡ ὑπὲρ Χριστοῦ ὁμολογία τε καὶ μαρτυρικὴ θυσία, ἀντίδωρα πνευματικὰ τοῦ νεομάρτυρος Χρήστου, εἰς τὸν Δωρεοδότην αὐτοῦ Κύριον ἡμῖν πλουσίως προσφέρονται. Εὐγνωμόνως οὖν αὐτῷ εἴπωμεν· χαῖρε πιστῶν τὸ ἐντρύφημα.

### Ἦχος γ΄.

Σκιρτώσῃ καρδίᾳ ἀδελφοί, δεῦτε λαμπρῶς τὴν μνήμην τοῦ νεομάρτυρος Χρήστου ἑορτάσωμεν· οὗτος γὰρ ὑπόδειγμα ἀνθρώπου τοῦ Θεοῦ ἡμῖν δέδωκε, διὰ πολιτείας ἐναρέτου, καὶ μαρτυρίου θεοτιμήτου. Αὐτοῦ μιμησώμεθα τὴν εἰς τοὺς κρουνοὺς τῆς ζωῆς, τὰ χαριτόβρυτα μυστήρια, ἐνσυνείδητον συμμετοχήν, καὶ τὴν εἰς τὰς ἐνθέους

www.tezaurliturgic.ro



ἀρετὰς μανικὴν αὐτοῦ ἀγάπην, ἵνα σὺν αὐτῷ τῆς οὐρανίου βασιλείας καταξιωθῶμεν.

**Ἦχος δ΄.**

Ἡ ἐπίγειος τοῦ νεομάρτυρος Χρήστου πατρίς, συναγάλλεται σήμερον τῇ ἐπουρανίῳ, πάντων τῶν πιστῶν πατρίδι. Ἡ μὲν ὡς ἐξ αὐτῆς τεχθέντος, ἡ δὲ ὡς ἐν αὐτῇ οἰκοῦντος. Συγχαίρει δὲ αὐταῖς καὶ ἡ περιφανὴς νῆσος Κῶς, ὅτι ἡγιάσθη τῇ ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ ἐν ταύτῃ, ἱερωτάτῃ σπονδῇ τοῦ αἵματος αὐτοῦ. Ὅθεν καὶ ἡμεῖς συνευφρανθῶμεν, τοιοῦτον ἔχοντες προστάτην, καὶ πρεσβευτὴν ἀκοίμητον πρὸς τὸν Σωτῆρα Κύριον.

**Δόξα. Ἦχος πλ. α΄.**

Δεῦτε πιστοί, νοερῶς ἐν τοῖς οὐρανίοις σκηνώμασιν ἀναβῶμεν καὶ κατίδωμεν θαῦμα μέγα καὶ ἐξαίσιον. Ὁ γὰρ τῆς Πρεβέζης γόνος, καὶ καύχημα νεομάρτυς Χρῆστος, ἐν λευκοῖς ἐνδεδυμένος, μετὰ τῶν Πρωτοτόκων μαρτύρων συγχορεύων, καὶ φέρων τὴν μαρτυρικὴν αὐτοῦ κιθάραν, τὴν καινὴν ᾠδὴν τῷ Ἐσφαγμένῳ Ἀρνίῳ ψάλλει, λαμπρῶς εὐφραινόμενος. Αὐτοῦ τὴν εἰς οὐρανοὺς κατάπαυσιν, καὶ τὴν ἄληκτον μακαριότητα ἐν σαββατισμῷ ζηλώσωμεν, αἰτούμενοι τὰς ὑπὲρ ἡμῶν αὐτοῦ πρεσβείας πρὸς Κύριον.

**Καὶ νῦν. Προεόρτιον. Ἦχος πλ. α΄.**

Νόμου καὶ Προφητῶν σε Χριστέ, ποιητὴν καὶ πληρωτὴν ἐμαρτύρησαν, ὁρῶντες ἐν τῇ νεφέλῃ, Μωϋσῆς ὁ θεόπτης καὶ Ἠλίας ὁ ἔμπειρος ἁρματηλάτης, καὶ ἄφλεκτος οὐρανοδρόμος, ἐπὶ τῆς Μεταμορφώσεώς σου· μεθ᾽ ὧν καὶ ὑμᾶς, τοῦ σοῦ φωτισμοῦ ἀξίωσον Δέσποτα, ὑμνεῖν σε εἰς τοὺς αἰῶνας.

**Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄.** *Χαίροις ἀσκητικῶν.*

Χαίροις κλεινῆς Πρεβέζης καρπός, καὶ τῆς Ἠπείρου θεοδώρητον κόσμημα, μαρτύρων Χριστοῦ ὁ στῦλος, ὁμολογούντων κανών,

www.tezaurliturgic.ro



τῶν νεομαρτύρων ἐγκαλλώπισμα, πιστῶν τὸ ἐντρύφημα, ὀρθοδόξων τὸ ἔρεισμα, τῶν ἀθλουμένων, θαυμαστὸν ἀκροθίνιον, καὶ πανάριστον ἁγιότητος ἄγαλμα. Ὅθεν τὴν περιδόξαστον, τελοῦντες πανήγυριν, ἔνδοξε Χρῆστε τῆς θείας, φιλανθρωπίας αἰτούμεθα, τυχεῖν σαῖς πρεσβείαις, καὶ τῷ κόσμῳ δωρηθῆναι τὸ μέγα ἔλεος.

**Στίχος.** *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.*

Χαίροις νεομαρτύρων φωστήρ, Ἀγαρηνῶν ἀθεοτάτων ἀντίπαλος, δαιμόνων ὁ καθαιρέτης, καὶ ἀσεβῶν ὁ πρηστήρ, καὶ τῶν ἀντιχρίστων θεῖον φόβητρον, τῆς πλάνης κατίσχυσις, ἀσεβείας κατάπτωσις, τῆς ἀνομίας, ἀρνητὴς θεοδόξαστος, καὶ ἀρνήσεως, τοῦ Χριστοῦ ὁ πολέμιος. Ὅθεν τὸ σὸν μαρτύριον, τιμῶντες ἐν ᾄσμασιν, πάνσεπτε Χρῆστε τῆς θείας, φιλανθρωπίας αἰτούμεθα, τυχεῖν σαῖς πρεσβείαις, καὶ τῷ κόσμῳ δωρηθῆναι τὸ μέγα ἔλεος.

**Στίχος.** *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις ναυτιλλομένων στολή, τῆς καθαρότητος σεπτὸν καταγώγιον, σεμνότητος ὁ κοσμήτωρ, τῆς εὐλαβείας κανών, καὶ τῆς εὐσεβείας τὸ ἀγλάισμα· σαρκὸς κατενίκησας, ἐμπαθείας τὸ φρόνημα, ταῖς ἀρεταῖς δέ, σὴν ψυχὴν κατεκόσμησας, καὶ τὴν ἔνθεον πολιτείαν ἠγάπησας· ὅθεν ὁμολογίαν σου, κηρύττοντες ἅπασιν, πάνσεμνε Χρῆστε τῆς θείας, φιλανθρωπίας αἰτούμεθα, τυχεῖν σαῖς πρεσβείαις, καὶ τῷ κόσμῳ δωρηθῆναι τὸ μέγα ἔλεος.

**Δόξα. Ἦχος πλ. β΄.**

Σήμερον ἡ Ἐκκλησία τοῦ Χριστοῦ, Χρῆστον τὸν χριστοφόρον, τὸν κεκοσμημένον διὰ τῆς θεοδωρήτου χρηστότητος, τῆς πανεράστου σεμνότητος, τῆς ὑπερκάλλου ἁγνότητος, καὶ τῆς χριστοτερποῦς εὐλαβείας, εὐφήμοις ᾠδαῖς ἑορτίως ἐγκωμιάσωμεν λέγοντες· χαίροις γνήσιε φίλε τοῦ Χριστοῦ, καὶ τοῦ μισοκάλου Βελίαρ πολέμιε· χαίροις τῆς πίστεως ἐραστά, καὶ τῆς πλάνης ἀντίπαλε· χαίροις τοῦ Ἐσταυρωμένου πιστὲ συνοδοιπόρε, καὶ τῶν σταυρούντων Αὐτὸν Ἀγαρηνῶν ἡ ἐξουθένωσις· ὡς ἔχων παῤῥησίαν πρὸς Χριστὸν τὸν Κύριον, Αὐτὸν ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



**Καὶ νῦν. Προεόρτιον. Ἦχος β΄.**

Ὁ ἐν τῷ ὄρει τῷ Θαβώρ, μεταμορφωθεὶς ἐν δόξῃ Χριστὲ ὁ Θεός, καὶ ὑποδείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν τῆς σῆς Θεότητος, καταύγασον καὶ ὑμᾶς, τῷ φωτὶ τῆς σῆς ἐπιγνώσεως, καὶ ὁδήγησον ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

**Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄.** *Τὸν συνάναρχον Λόγον.*

Νεομάρτυρα Χρῆστον, Πρεβέζης βλάστημα, τὸν μαρτυρίῳ ἐνθέῳ τελειωθέντα ἐν Κῷ, εὐφημήσωμεν λαμπρῶς, καὶ ἀνυμνήσωμεν· ὅτι ἠγάπησε Χριστὸν καὶ βιοτὴν πνευματικήν, καὶ πόλιν τὴν αἰωνίαν· διὸ δόξης κατηξιώθη, καὶ μακαρίας ἐν Παραδείσῳ ζωῆς.

**Καὶ νῦν. Προεόρτιον. Ἦχος δ΄.**

Χριστοῦ τὴν Μεταμόρφωσιν προϋπαντήσωμεν, φαιδρῶς πανηγυρίζοντες τὰ προεόρτια, πιστοὶ καὶ βοήσωμεν· Ἤγγικεν ἡ ἡμέρα τῆς ἐνθέου εὐφροσύνης· ἄνεισιν εἰς τὸ ὄρος τὸ Θαβὼρ ὁ Δεσπότης, τῆς Θεότητος Αὐτοῦ ἀπαστράψαι τὴν ὡραιότητα.

**Ἀπόλυσις.**



www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.**
**Ἦχος πλ. α΄.** *Τὸν Συνάναρχον Λόγον.*

Τῶν μαρτύρων τὸ κλέος, Πρεβέζης βλάστημα, τὸν ἐν τῇ Κῷ μαρτυρήσαντα ἐν ἐσχάτοις καιροῖς, ἐγκωμίοις ἀδελφοί, Χρῆστον τιμήσωμεν· ὅτι ἐνήθλησε λαμπρῶς καὶ κατήσχυνεν Σατᾶν, καὶ πλάνην τῶν ἀλλοθρήσκων, συναγείρων τοὺς ὀρθοδόξους, τοῦ ἀνυμνεῖν τὸν ἐν Τριάδι Θεόν.

**Δόξα. Καὶ νῦν. Θεοτοκίον.**

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε, τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε, ἀχείμαστε λιμήν, καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλίπῃς, ὑπὲρ τῶν ἀνυμνούντων καὶ προσκυνούντων τὸν Τόκον σου.

**Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.**
**Ἦχος α΄.** *Τὸν τάφον σου Σωτήρ.*

Τὸν Χρῆστον ἀδελφοί, τὸν κλεινὸν στεφανίτην, ὑμνήσωμεν σεπτῶς, ἐν ᾠδαῖς ἐγκωμίων· Χριστὸν γὰρ ἐκήρυξεν, ὡς Θεὸν παντοδύναμον, καὶ ὑπέμεινεν, τοὺς αἰκισμοὺς καὶ τὸ πάθος· ὅθεν ἔλαβε, παρὰ τοῦ μόνου Δεσπότου, τὸ στέφος τὸ ἄφθιτον.

**Δόξα. Καὶ νῦν. Θεοτοκίον.**

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθό-

www.tezaurliturgic.ro



τητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

**Μετὰ τὸν Πολυέλεον, Κάθισμα.**
**Ἦχος δ΄.** *Κατεπλάγη Ἰωσήφ.*

Κατεπλάγη ἀληθῶς, ὁ τοῦ Κυρίου λειτουργός, κατιδὼν ἐν τῇ ψυχῇ, τοῦ νεομάρτυρος Χριστοῦ, ἦθος σεμνόν καὶ εὐσέβειαν πρὸς Τριάδα, θείας ἀρετὰς καὶ ἁγνότητα, πίστιν ἀληθῆ καὶ εὐλάβειαν· καὶ μαρτυρῶν τοῖς πᾶσιν ἀνεκήρυττε, τὰ μεγαλεῖα τῆς πίστεως, καὶ Χρήστου θείαν, ζωὴν καὶ ἄθλους, ὄντως θεοδωρήτους.

**Δόξα. Καὶ νῦν. Θεοτοκίον.**

Κατεπλάγησαν Ἁγνή, πάντες Ἀγγέλων οἱ χοροί, τὸ μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν· πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτός, ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν ὁ τρέφων, πνοὴν ἀφάτῳ χρηστότητι· καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσι.

**Οἱ Ἀναβαθμοί, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου.**
**Προκείμενον. Ἦχος δ΄.**

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.
**Στίχος.** *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

**Τό, Πᾶσα πνοή.**

**Εὐαγγέλιον.**
**(Τοῦ Ὄρθρου τῆς κστ΄ Ὀκτωβρίου. Σελ.34).**

**Ὁ Ν΄ Ψαλμός.**
**Δόξα.**

Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

www.tezaurliturgic.ro



**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Εἶτα τὸ Ἰδιόμελον. Ἦχος πλ. β΄.**
**Στίχος.** *Ἐλέησόν με ὁ Θεός...*

Σήμερον ὁ τῶν φιλομαρτύρων χορός, ἐπὶ τῇ ἐν οὐρανοῖς γεννήσει, τοῦ νεομάρτυρος Χρήστου, ἱεροπρεπῶς πανηγυρίζει. Σήμερον ἡ ἐπὶ γῆς στρατευομένη Ἐκκλησία, εὐφραινομένη τὰ τοῦ Πρεβεζαίου Μάρτυρος τιμᾷ γενέθλια. Σήμερον ἡ ἐν οὐρανοῖς θριαμβεύουσα Ἐκκλησία, σὺν τῷ ἐνδόξῳ μάρτυρι Χρήστῳ, γηθοσύνως τὸν Τρισυπόστατον Θεὸν προσκυνοῦσα, σὺν τοῖς Ἀγγέλοις ἀνυμνεῖ. Δεῦτε οὖν καὶ ἡμεῖς, σὺν πάσῃ τῇ ποίμνῃ τοῦ Χριστοῦ εἴπωμεν· Κύριε πρεσβείαις τοῦ μάρτυρός σου σῶσον τὰς ψυχὰς ἡμῶν.

**Οἱ Κανόνες· ὁ Κανὼν τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου οὗ ἡ Ἀκροστιχίς·**
**ΜΑΡΤΥΣ ΧΡΗΣΤΕ ΥΜΝΟΝ ΔΕΧΟΥ. ΝΙΚΟΔΗΜΟΥ. Α.**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.** *Ὑγρὰν διοδεύσας.*

Μαρτύρων ὑμνῆσαι ἐπιποθῶν, νέον στεφανίτην, ἱκετεύω Σε Παντουργέ, κατάπεμψον Πνεῦμα τοῦ σοφίσαι, τὴν ταπεινήν μου ψυχὴν καὶ τὸν λόγον μου.

Ἀξίωσον Χρῆστε σοὺς ὑμνητάς, τιμῆσαι ἀξίως, ἀρετάς σου πνευματικάς, καὶ βίαν ἀθλήσεως τελείας, καὶ τελευτὴν μαρτυρίου πανθαύμαστον.

Ῥημάτων Κυρίου ἐνωτισθείς, βίον ἠκολούθεις τῶν ἁγίων τοῦ οὐρανοῦ· διὸ ἠξιώθης μαρτυρῆσαι, καὶ ἀνελθεῖν εἰς οὐράνια δώματα.

**Θεοτοκίον.**

Ταπείνωσιν δός μοι Μῆτερ Θεοῦ, καὶ βίον ἁγνείας, καὶ εἰρήνην τοῦ σοῦ Υἱοῦ, πρὸς δόξαν Τριάδος τῆς ἁγίας, καὶ σωτηρίαν ψυχῆς μου Πανάμωμε.

www.tezaurliturgic.ro



**Ὠδὴ γ΄. Ὁ Εἱρμός.** *Οὐρανίας ἁψῖδος.*

Ὑψηγόρως τιμῶμεν Χρῆστον Χριστοῦ μάρτυρα, καὶ τὰς πρὸς τὸν Λόγον πρεσβείας, αὐτοῦ αἰτούμεθα, ἵνα ἐν πίστει ὀρθῇ, τὸν τῆς ζωῆς ἡμῶν χρόνον, ἐξαγοραζόμενοι, λάβωμεν ἔλεος.

Σωτηρίαν ποθήσας, ὁ ἀθλητὴς Κύριε, ἄφεσιν λαμβάνει πταισμάτων, ἐν Κῷ καὶ δέχεται, τοῦ μαρτυρίου τιμήν, καὶ τῶν στεφάνων τὴν δόξαν, καὶ ζωῆς ἀπόλαυσιν, ὁ τρισμακάριος.

Ἁρμοσύνως τιμῶντες, μαρτυρικὴν ἄθλησιν, τὰς τοῦ νεομάρτυρος Χρήστου, λιτὰς αἰτούμεθα, πρὸς τὸν Νυμφίον Χριστόν, ὅπως ἡμᾶς ἀξιώσῃ, τοῦ ποθεῖν τὰ κρείττονα καὶ ἐπουράνια.

**Θεοτοκίον.**

Ῥητορείας τὴν χάριν, ἀντιβολῶ Δέσποινα, δός μοι τοῦ ὑμνῆσαι Παρθένε, τὰ μεγαλεῖά σου, καὶ τοῦ Υἱοῦ σου Ἁγνή, οἰκονομίαν τελείαν, εἰς τὸ σῴζειν ἅπαντας, ἐκ τοῦ ἀλάστορος.

**Κάθισμα.**

**Ἦχος δ΄.** *Ταχὺ προκατάλαβε.*

Τὸν Χρῆστον τιμήσωμεν, τὸν τοῦ Χριστοῦ μιμητήν, Πρεβέζης τὸ κλέισμα, Ἠπείρου δὲ φρυκτωρόν, πιστῶν τε τὸ πρότυπον· οὗτος γὰρ τὰς ἐνέδρας ἐκφυγὼν τοῦ Βελίαρ, ἔδωκεν ὀρθοδόξοις, εὐφροσύνην ἁγίαν· λιταῖς αὐτοῦ Θεοῦ Λόγε, σῶσον τὸν κόσμον σου.

**Δόξα. Καὶ νῦν. Προεόρτιον. Ἦχος δ΄.** *Ἐπεφάνης σήμερον.*

Ἐπεφάνη ἤστραψε, τοῖς ἐν τῷ σκότει, ὁ τῆς δόξης Ἥλιος, τὰς τῆς Θεότητος αὐγάς, ἐν τῷ Θαβὼρ ἀνερχόμενος· οὗ τὴν φωσφόρον, τιμήσωμεν ἔλευσιν.

**Ὠδὴ δ΄. Ὁ Εἱρμός.** *Εἰσακήκοα Κύριε.*

www.tezaurliturgic.ro



Ἡλιόμορφος γέγονας, τῇ ἐπισκηνώσει τῆς θείας χάριτος, ἐν ἀθλήσει Χρῆστε ἔνδοξε, τῆς Πρεβέζης γόνε θεοτίμητε.

Σωτηρίαν παράσχου μοι, Χρῆστε νεομάρτυς τῇ μεσιτείᾳ σου, μετανοίας δὲ κατάνυξιν, καὶ ὁμολογίας τὴν ἀσφάλειαν.

Τὰ οὐράνια ἔλαβεν, ἀγαθὰ καὶ δόξαν ὁ Χρῆστος ἄφθιτον, καὶ χαρὰν τὴν ἀνεκλάλητον, μετὰ τῶν Ἀγγέλων ὁ καλλίνικος.

**Θεοτοκίον.**

Εὐφροσύνως κηρύττομεν, τὸ ἐν σοὶ μυστήριον Παντευλόγητε· καὶ αἰτούμεθα Πανάχραντε, τὴν σὴν μεσιτείαν καὶ τὴν χάριν σου.

**Ὠδὴ ε΄. Ὁ Εἱρμός.** *Φώτισον ἡμᾶς.*

Ὕψωσας τὸν νοῦν, πρὸς Χριστὸν τὸν μόνον Κύριον, καὶ πρὸς Σιὼν τὴν ἄνω Χρῆστε κλεινέ· διὸ ἐτύθης, ὡς σφάγιον ἱερώτατον.

Μέμνησο ἡμῶν, νεομάρτυς Χρῆστε πάντιμε, ταῖς πρὸς Θεὸν πρεσβείαις σου ἀγαθέ, ὅπως ῥυσθῶμεν, παγίδων τοῦ πολεμήτορος.

Νίκας κατ' ἐχθρῶν, σύ μοι δώρησαι πρεσβείαις σου, πρὸς τὸν Σωτῆρα Λόγον Χρῆστε σεπτέ, καὶ Παραδείσου, τὸν πόθον ἐμοὶ ἐμφύτευσον.

**Θεοτοκίον.**

Ὅλον τὸν λαόν, ἐκ πταισμάτων σῶσον Δέσποινα, ταῖς μητρικαῖς πρεσβείαις σου πρὸς Χριστόν, καὶ πρὸς ἁγίαν, ζωὴν ἡμᾶς καθοδήγησον.

**Ὠδὴ ς΄. Ὁ Εἱρμός.** *Τὴν δέησιν.*

Νευρώσας σου τῆς ψυχῆς τὸ φρόνημα, πρὸς τὸ σκάμμα τῆς ἀθλήσεως ἔρχῃ, καὶ τὸν Χριστόν, ὡς Θεὸν καὶ Δεσπότην, τοῖς ἀσεβέσι κηρύττεις ἐν χάριτι. Πανθαύμαστε Μάρτυς Χριστοῦ, Ἐκκλησίας, ὑπάρχεις τὸ καύχημα.

www.tezaurliturgic.ro



Διάσωσον τὴν ψυχήν μου ἔνδοξε, ποντουμένην ἐν ταῖς ζάλαις τοῦ βίου· ὅτι πιστῶς σοὶ καλλίνικε κλίνω, τὰ τῆς ψυχῆς καὶ τοῦ σώματος γόνατα· καὶ δέομαι ἐν πειρασμοῖς· ἐκ παθῶν σαῖς λιταῖς διαφύλαξον.

Ἐνίκησεν ἀσεβῶν τὸ φρύαγμα, νεομάρτυς τοῦ Χριστοῦ τῇ δυνάμει· τούτου ἡμεῖς, μιμησώμεθα πόθῳ, τὴν προθυμίαν καὶ ζῆλον τὸν ἔνθεον, ὁμολογίαν τε Χριστοῦ, ἵνα Λόγου Θεοῦ ἀπολαύσωμεν.

**Θεοτοκίον.**

Χριστόμορφε τῶν Μαρτύρων δύναμις, Θεοτόκε Ἐκκλησίας ἡ βάσις, τῶν εὐσεβῶν, προστασία καὶ σκέπη, καὶ ἀσθενούντων ἀντίληψις ἕτοιμος, ἱκέτευε τὸν σὸν Υἱόν, ἐκ παθῶν τοὺς σοὺς δούλους λυτρώσασθαι.

**Κοντάκιον.**

**Ἦχος πλ. δ΄.** *Τῇ Ὑπερμάχῳ.*

Τὸν τῆς Πρεβέζης φρυκτωρὸν καὶ ἀντιλήπτορα, καὶ τῆς Ἠπείρου ἐγκαλλώπισμα θεόσδοτον, ἀνυμνήσωμεν ἐν ὕμνοις καὶ ἐγκωμίοις. Ἀγαρηνοὺς γὰρ θείοις λόγοις κατενίκησε, καὶ θυόμενος λαὸν πιστὸν ἐστήριξεν· ὅθεν ἔλαβε, στέφος δόξης ἀμάραντον.

**Ὁ Οἶκος.**

Ἡ τοῦ Χριστοῦ Ἐκκλησία, εὐφροσύνως συνελθοῦσα, τὴν τοῦ ἐκ Πρεβέζης νεομάρτυρος Χρήστου μνήμην, πανηγυρικῶς καὶ ἑορτίως ἐπιτελεῖ. Οὗτος γὰρ ποντοπορῶν ἤσκει τὸ τοῦ ναυτικοῦ ἐπάγγελμα. Εἰς τὴν νῆσον Κῶ ἐλθών, ὡς τέκνον πιστὸν τῆς Ἐκκλησίας, ἐν πολλῇ σπουδῇ, κατέφυγεν εἰς τὴν τοῦ πνευματικοῦ ἱερουργίαν, ἐξομολογηθεὶς τὰ αὐτοῦ πταίσματα. Ὁ τοῦ μυστηρίου ἱερουργὸς τὴν αὐτοῦ καθαρότητα, τὴν σεμνότητα καὶ τὴν εὐλάβειαν μεγάλως ἐθαύμασεν. Ὁ τοῦ Χριστοῦ φίλος, ἐν παῤῥησίᾳ ἐλέγξας τοὺς τὴν πίστιν αὐτοῦ ὑβρίσαντας, ὡμολόγησε τὸν Χριστὸν Κύριον καὶ Θεόν, καὶ κατηξιώθη μαρτυρικοῦ διὰ μαχαιρῶν καὶ πυρὸς τέλους· ὅθεν ἔλαβε, στέφος δόξης ἀμάραντον.

www.tezaurliturgic.ro



## Συναξάριον.

**Ἀναγινώσκεται τὸ Συναξάριον τῆς ε´ Αὐγούστου, Εἶτα λέγομεν·**

**Τῇ αὐτῇ ἡμέρᾳ,** Μνήμη τοῦ Ἁγίου ἐνδόξου νεομάρτυρος Χρήστου, τοῦ ἐκ Πρεβέζης μὲν καταγομένου, ἐν δὲ τῇ νήσῳ Κῷ ἀθλήσαντος ἐν ἔτει ‚αχξη´ (1668) καὶ διὰ μαχαιρῶν καὶ πυρὸς τελειωθέντος.

**Στίχοι**

Τῷ τοῦ Παρακλήτου πυρὶ Χρῆστος πυρωθεὶς
Τοῦ φθαρτοῦ πυρὸς χαριτωθεὶς κατεφρόνησεν

**Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

**Ὠδὴ ζ´. Ὁ Εἱρμός.** *Οἱ ἐκ τῆς Ἰουδαίας.*

Οὐρανός σε ἐδέξω, Χρῆστε ἔνδοξε μάρτυς, καὶ τῶν ἁγίων χορός, μεθ᾽ ὧν συνεορτάζεις, ὑμνῶν τὸν ἐν Τριάδι, Ὁμοούσιον Κύριον· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὑπακούων ὁ Μάρτυς, τοῖς Χριστοῦ θείοις λόγοις, ὁμολογεῖ εὐθαρσῶς, καλῶν τοὺς ὀρθοδόξους, συμψάλλειν ὁμοφρόνως, καὶ βοᾶν μετὰ πίστεως· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Νικηφόρως ὁ Μάρτυς, ἐναθλῶν ἐν σταδίῳ, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, συνήγειρε τὸν κόσμον, γεραίρειν τὸν Σωτῆρα, καὶ συμψάλλειν ἐν χάριτι· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Θεοτοκίον.**

Ἱλασμὸν καταπέμπει, τοῖς βροτοῖς Θεοτόκε ὁ σὸς Υἱὸς καὶ Θεός, πρεσβείαις σου ἀπαύστοις, πρὸς Ὃν πανευγνωμόνως ἐν ᾠδαῖς πάντες ψάλλομεν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

www.tezaurliturgic.ro



Ὠδὴ η΄. Ὁ Εἱρμός. *Τὸν Βασιλέα.*

Κατανικᾶται, ὁ Ἀρχηγὸς τῶν δαιμόνων, ὑπὸ μάρτυρος Χρήστου ὑμνοῦντος, καὶ ὑπερυψοῦντος Χριστὸν εἰς τοὺς αἰῶνας.

Οὐρανοδρόμος, ὁ Νεομάρτυς ἐδείχθη, μιμηθεὶς τῶν μαρτύρων τὰ πάθη, πάντων ἀνυμνούντων, Χριστὸν εἰς τοὺς αἰῶνας.

Διακηρύττει, ὁ Νεομάρτυς τὴν πίστιν, τοῦ Χριστοῦ καὶ τὴν ἄῤῥητον χάριν, Οὗ τὴν θείαν δόξαν, ὑμνοῦμεν εἰς αἰῶνας.

Θεοτοκίον.

Ἠγαπημένη, παρὰ Θεοῦ σὺ ὑπάρχεις, Θεοτόκε ὡς τέξασα Λόγον, Ὃν σὺν Ἀσωμάτοις, ὑμνεῖς εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός. *Κυρίως Θεοτόκον.*

Μετάδος μοι τὸν ζῆλον, τῆς ὁμολογίας, καὶ τῆς θυσίας σου Μάρτυς, πρὸς δόξαν Θεοῦ, σαῖς ἱκεσίαις πρὸς Κύριον, Χρῆστε ἔνδοξε.

Ὁρῶμεν ἐν ἁγίοις, Χρῆστον ἐκ Πρεβέζης, κατατρυφῶντα τῆς θείας χαρᾶς καὶ ζωῆς, σὺν Πρωτοτόκοις καὶ πᾶσι τοῖς ἐναθλήσασιν.

Ὑμνοῦμεν θεοφρόνως, Χρήστου μαρτυρίαν, ὁμολογίαν θυσίαν καὶ πάθος σεπτόν, καὶ εὐφημοῦμεν ἐνθέως αὐτοῦ τελείωσιν.

Θεοτοκίον.

Ἀξίως τὸν Υἱόν σου, Ἁγνὴ εὐφημοῦμεν, τὸν γεννηθέντα ἀφράστως ἐκ σοῦ ὡς βροτόν, πρὸς σωτηρίαν τοῦ κόσμου καὶ ἀπολύτρωσιν.

Ἐξαποστειλάριον.

Ἦχος β΄. *Γυναῖκες ἀκουτίσθητε.*

Τὸν Χρῆστον εὐφημήσωμεν, Πρεβέζης γόνον ἔνθεον, Κῶ δὲ τῆς νήσου τὸ κλέος, καὶ ὀρθοδόξων προστάτην· οὗτος γὰρ ἀθεότητα,

www.tezaurliturgic.ro



Ἀγαρηνῶν κατέβαλε, καὶ τὸν Χριστὸν ἐκήρυξε, Θεὸν καὶ μόνον Δεσπότην, καὶ λυτρωτὴν τῶν ἀνθρώπων.

### Θεοτοκίον.

Μαρίαν τὴν Θεόνυμφον, τὴν τέξασαν τὸν Κύριον, πάντες ἐκ πόθου τιμῶμεν· ζωῆς γὰρ γέγονε Μήτηρ. Τράπεζα ἄρτον φέρουσα, λυχνία ἡ φωτίζουσα, σκέπη δὲ κατασκέπουσα, πιστῶν Χριστοῦ τὰς καρδίας, ὑπάρχει ἡ Θεοτόκος.

### Εἰς τοὺς Αἴνους.

### Ἱστῶμεν Στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

**Ἦχος πλ. β΄.** *Ὅλην ἀποθέμενοι.*

Χρῆστον νεομάρτυρα, τὸν ἀθλητὴν τοῦ Κυρίου, ἐν ψαλμοῖς ὑμνήσωμεν, φιλεόρτων σύλλογος καὶ τιμήσωμεν· εἰς Χριστὸν ἔδραμε, καὶ ἐν Κῷ τῇ νήσῳ, τὸν Χριστὸν καθωμολόγησε, Θεὸν καὶ Κύριον, λυτρωτὴν τοῦ κόσμου φιλάνθρωπον· διὸ καὶ εἰσελήλυθεν, ἐν σκηναῖς Μαρτύρων ὁ ἔνθεος· ἔνθα ἱκετεύει, τὸν Κύριον λυτρώσασθαι ἡμᾶς, τοὺς τὴν σεπτὴν ἑορτὴν αὐτοῦ, πόθῳ ἑορτάζοντας.

Χρῆστον τὸν καλλίνικον, τῆς Ἐκκλησίας τὸν κόσμον, τῶν μαρτύρων καύχημα, ἐν ᾠδαῖς ὑμνήσωμεν καὶ τιμήσωμεν· ἐν χαρᾷ ἤθλησεν, ὑπὲρ ἀληθείας, αἰκισμοὺς φαιδρῶς ὑπέμεινεν, καὶ ἀπεδέξατο, τέλος μαρτυρίου ὁ ἔνδοξος· διὸ καὶ ὁ Θεάνθρωπος, ἔστεψεν ἐν δόξῃ τὸν μάρτυρα· ἵνα αἰωνίως, συγχαίρῃ τοῖς Ἁγίοις τοῦ Θεοῦ, ἐν οὐρανίοις σκηνώμασιν, ὡς μάρτυς καλλίνικος.

Χρῆστον τὸν πανθαύμαστον, τὸν στολισμὸν τῆς Πρεβέζης, καὶ Ἠπείρου φύλακα, ἐγκωμίοις ᾄσμασιν εὐφημήσωμεν· τὸν Χριστὸν φέρων γάρ, σταθερῶς ἐν στέρνοις, καὶ τὴν πίστιν τὴν ἀκήρατον, λαμπρῶς ἐτράνωσε, καὶ μαρτυρικῶς κατεκύρωσε· διὸ καὶ εἰσελήλυθεν, εἰς τὰ ἐπουράνια δώματα, μετὰ τῶν μαρτύρων, τῷ θρόνῳ παριστάμενος Θεοῦ, καὶ μεσιτεύων πρὸς Κύριον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



**Δόξα. Ἦχος πλ. α΄.**

Δεῦτε Χριστοφόροι λαοί, ἐν ᾠδαῖς καὶ ὕμνοις, τὸν τοῦ Χριστοῦ καλλίνικον μάρτυρα Χρῆστον, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· χαίροις ὁ τὸν Τρισάγιον Θεόν ὁλοψύχως ἀγαπήσας, καὶ ὑπὲρ Αὐτοῦ ἐν πυρὶ φθειρομένῳ τελειωθείς· χαίροις ὁ τὴν τοῦ Χριστοῦ ψωτήριον πίστιν ἐν παῤῥησίᾳ ὑπερασπισθείς, καὶ ἄχρι τέλους ἐν δυσχειμέροις χρόνοις ἐμμείνας· χαίροις πιστῶν τὸ ἐντρύφημα καὶ ἀθέων δυσσεβῶν τὸ ἥττημα. Πρέσβευε δεόμεθα Νεομάρτυς Χρῆστε Ἅγιε, ὑπὲρ τῶν τιμώντων σε.

**Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.**

Νόμου καὶ Προφητῶν σε Χριστέ, ποιητὴν καὶ πληρωτὴν ἐμαρτύρησαν, ὁρῶντες ἐν τῇ νεφέλῃ, Μωϋσῆς ὁ θεόπτης καὶ Ἠλίας ὁ ἔμπειρος ἁρματηλάτης, καὶ ἄφλεκτος οὐρανοδρόμος, ἐπὶ τῆς Μεταμορφώσεώς σου· μεθ᾿ ὧν καὶ ὑμᾶς, τοῦ σοῦ φωτισμοῦ ἀξίωσον Δέσποτα, ὑμνεῖν σε εἰς τοὺς αἰῶνας.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος πλ. α΄. Ἐκ τοῦ Μηναίου.**
**Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.**

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τὰ Τυπικά, καὶ ἀπὸ τοῦ Κανόνος, Ὠδὴ γ΄ καὶ ϛ΄.**
**Εὐαγγέλιον τῆς Λειτουργίας τῆς κϛ΄ Ὀκτωβρίου.**
**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

## ΜΕΓΑΛΥΝΑΡΙΑ

Χρῆστον νεομάρτυρα τοῦ Χριστοῦ, Πρεβέζης τὸν γόνον, μαρτυρήσαντα ἐν τῇ Κῷ, τιμήσωμεν ὕμνοις, καὶ λόγοις ἐγκωμίων, κηρύττοντες ἐμφρόνως, αὐτοῦ τὴν ἄθλησιν.

Τὸν ἐν νεομάρτυσιν θαυμαστόν, Χρῆστον εὐφημοῦμεν, ἀφομοίωμα τοῦ Χριστοῦ, τὸν κεκοσμημένον, σεμνότητι ἁγίᾳ, ἁγνότητι καὶ πίστει, δυνάμει Πνεύματος.

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ
## ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΝΕΟΜΑΡΤΥΡΑ
# ΧΡΗΣΤΟΝ

**Εὐλογήσαντος τοῦ ἱερέως, τὸ «Κύριε, εἰσάκουσον...», μεθ᾽ ὃ τὸ «Θεὸς Κύριος...», ὡς συνήθως, καὶ τὰ ἑξῆς·**

**Ἦχος δ΄.** *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τὸν νεομάρτυρα Χριστοῦ συνελθόντες, ἐν ἐγκωμίοις καταστέψωμεν Χρῆστον, τὰς ἀρετὰς τὴν ἄθλησιν πυρός τε τελευτήν· οὗτος γὰρ λαμπρῶς ἐνίκησεν, ἀσεβῶν τὴν δυσσέβειαν, πᾶσαν ἀπειλὴν αὐτῶν καὶ πυρὸς καὶ θανάτου. Αὐτοῦ λιταῖς Πανάχραντε Χριστέ, σῶσον τοὺς πίστει, αὐτὸν μεγαλύνοντας.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν.**

Τῇ Θεοτόκῳ ταπεινῶς ἐκβοῶμεν, οἱ ἀπειλούμενοι ἐχθροῦ ταῖς ἐνέδραις· τῇ μητρικῇ σου σκέπασον ἀγάπῃ ἡμᾶς· δίωξον Θεοχαρίτωτε, ἀντιδίκου τὰς φάλαγγας, παῦσον τὰς ὁρμὰς παθῶν, καὶ δαιμόνων μανίαν· σὺ γὰρ ὑπάρχεις Δέσποινα Ἁγνή, Μήτηρ καὶ σκέπη, καὶ θεία ἀντίληψις.

www.tezaurliturgic.ro



Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:

ΜΑΡΤΥΣ ΧΡΗΣΤΕ ΥΜΝΟΝ ΔΕΧΟΥ. ΝΙΚΟΔΗΜΟΥ. Α.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός. *Ὑγρὰν διοδεύσας.*

Μαρτύρων ὑμνῆσαι ἐπιποθῶν, νέον στεφανίτην, ἱκετεύω Σε Παντουργέ, κατάπεμψον Πνεῦμα τοῦ σοφίσαι, τὴν ταπεινήν μου ψυχὴν καὶ τὸν λόγον μου.

Ἀξίωσον Χρῆστε σοὺς ὑμνητάς, τιμῆσαι ἀξίως, ἀρετάς σου πνευματικάς, καὶ βίαν ἀθλήσεως τελείας, καὶ τελευτὴν μαρτυρίου πανθαύμαστον.

Ῥημάτων Κυρίου ἐνωτισθείς, βίον ἠκολούθεις τῶν ἁγίων τοῦ οὐρανοῦ· διὸ ἠξιώθης μαρτυρῆσαι, καὶ ἀνελθεῖν εἰς οὐράνια δώματα.

Θεοτοκίον.

Ταπείνωσιν δός μοι Μῆτερ Θεοῦ, καὶ βίον ἁγνείας, καὶ εἰρήνην τοῦ σοῦ Υἱοῦ, πρὸς δόξαν Τριάδος τῆς ἁγίας, καὶ σωτηρίαν ψυχῆς μου Πανάμωμε.

Ὠδὴ γ΄. Ὁ Εἱρμός. *Οὐρανίας ἁψῖδος.*

Ὑψηγόρως τιμῶμεν Χρῆστον Χριστοῦ μάρτυρα, καὶ τὰς πρὸς τὸν Λόγον πρεσβείας, αὐτοῦ αἰτούμεθα, ἵνα ἐν πίστει ὀρθῇ, τὸν τῆς ζωῆς ἡμῶν χρόνον, ἐξαγοραζόμενοι, λάβωμεν ἔλεος.

Σωτηρίαν ποθήσας, ὁ ἀθλητὴς Κύριε, ἄφεσιν λαμβάνει πταισμάτων, ἐν Κῷ καὶ δέχεται, τοῦ μαρτυρίου τιμήν, καὶ τῶν στεφάνων τὴν δόξαν, καὶ ζωῆς ἀπόλαυσιν, ὁ τρισμακάριος.

Ναρμοσύνως τιμῶντες, μαρτυρικὴν ἄθλησιν, τὰς τοῦ νεομάρτυρος Χρήστου, λιτὰς αἰτούμεθα, πρὸς τὸν Νυμφίον Χριστόν, ὅπως ἡμᾶς ἀξιώσῃ, τοῦ ποθεῖν τὰ κρείττονα καὶ ἐπουράνια.

www.tezaurliturgic.ro



**Θεοτοκίον.**

Ρητορείας τὴν χάριν, ἀντιβολῶ Δέσποινα, δός μοι τοῦ ὑμνῆσαι Παρθένε, τὰ μεγαλεῖά σου, καὶ τοῦ Υἱοῦ σου Ἁγνή, οἰκονομίαν τελείαν, εἰς τὸ σῴζειν ἅπαντας, ἐκ τοῦ ἀλάστορος.

Στερέωσον, ἐν ἀγωνίσμασιν πάντας τοὺς ἀθλουμένους· σὲ γὰρ Χρῆστε πρὸς τὸν Χριστόν ἱκέτην προβάλλομεν, ὡς ἔχοντα μάρτυρος παῤῥησίαν.

Στερέωσον, τοὺς ὀρθοδόξως τιμῶντάς σε Θεοτόκε, ἐν τῇ πίστει τοῦ σοῦ Υἱοῦ καὶ βίου παλαίσμασιν, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Αἴτησις καὶ τὸ Κάθισμα.**

**Ἦχος β΄.** Τὰ ἄνω ζητῶν.

Χαρὰν καὶ ζωήν, ποθῶν τὴν τοῦ Κυρίου σου, προσκαίρου ζωῆς, ἐνθέως κατεφρόνησας, νεομάρτυς ἔνδοξε, τῆς Πρεβέζης Χρῆστε τὸ βλάστημα· καθορῶν Χριστὸν τὸν Θεόν, ἱκέτευε Μάρτυς, ὑπὲρ πάντων ἡμῶν.

**Ὠδὴ δ΄. Ὁ Εἱρμός.** *Εἰσακήκοα Κύριε.*

Ἡλιόμορφος γέγονας, τῇ ἐπισκηνώσει τῆς θείας χάριτος, ἐν ἀθλήσει Χρῆστε ἔνδοξε, τῆς Πρεβέζης γόνε θεοτίμητε.

Σωτηρίαν παράσχου μοι, Χρῆστε νεομάρτυς τῇ μεσιτείᾳ σου, μετανοίας δὲ κατάνυξιν, καὶ ὁμολογίας τὴν ἀσφάλειαν.

Τὰ οὐράνια ἔλαβεν, ἀγαθὰ καὶ δόξαν ὁ Χρῆστος ἄφθιτον, καὶ χαρὰν τὴν ἀνεκλάλητον, μετὰ τῶν Ἀγγέλων ὁ καλλίνικος.

**Θεοτοκίον.**

Εὐφροσύνως κηρύττομεν, τὸ ἐν σοὶ μυστήριον Παντευλόγητε· καὶ αἰτούμεθα Πανάχραντε, τὴν σὴν μεσιτείαν καὶ τὴν χάριν σου.

www.tezaurliturgic.ro



**Ὠδὴ ε΄. Ὁ Εἱρμός.** *Φώτισον ἡμᾶς.*

Ὕψωσας τὸν νοῦν, πρὸς Χριστὸν τὸν μόνον Κύριον, καὶ πρὸς Σιὼν τὴν ἄνω Χρῆστε κλεινέ· διὸ ἐτύθης, ὡς σφάγιον ἱερώτατον.

Μέμνησο ἡμῶν, νεομάρτυς Χρῆστε πάντιμε, ταῖς πρὸς Θεὸν πρεσβείαις σου ἀγαθέ, ὅπως ῥυσθῶμεν, παγίδων τοῦ πολεμήτορος.

Νίκας κατ᾽ ἐχθρῶν, σύ μοι δώρησαι πρεσβείαις σου, πρὸς τὸν Σωτῆρα Λόγον Χρῆστε σεπτέ, καὶ Παραδείσου, τὸν πόθον ἐμοὶ ἐμφύτευσον.

**Θεοτοκίον.**

Ὅλον τὸν λαόν, ἐκ πταισμάτων σῶσον Δέσποινα, ταῖς μητρικαῖς πρεσβείαις σου πρὸς Χριστόν, καὶ πρὸς ἁγίαν, ζωὴν ἡμᾶς καθοδήγησον.

**Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.** *Τὴν δέησιν.*

Νευρώσας σου τῆς ψυχῆς τὸ φρόνημα, πρὸς τὸ σκάμμα τῆς ἀθλήσεως ἔρχῃ, καὶ τὸν Χριστόν, ὡς Θεὸν καὶ Δεσπότην, τοῖς ἀσεβέσι κηρύττεις ἐν χάριτι. Πανθαύμαστε Μάρτυς Χριστοῦ, Ἐκκλησίας, ὑπάρχεις τὸ καύχημα.

Ἰάσωσον τὴν ψυχήν μου ἔνδοξε, ποντουμένην ἐν ταῖς ζάλαις τοῦ βίου· ὅτι πιστῶς σοὶ καλλίνικε κλίνω, τὰ τῆς ψυχῆς καὶ τοῦ σώματος γόνατα· καὶ δέομαι ἐν πειρασμοῖς· ἐκ παθῶν σαῖς λιταῖς διαφύλαξον.

Ἐνίκησεν ἀσεβῶν τὸ φρύαγμα, νεομάρτυς τοῦ Χριστοῦ τῇ δυνάμει· τούτου ἡμεῖς, μιμησώμεθα πόθῳ, τὴν προθυμίαν καὶ ζῆλον τὸν ἔνθεον, ὁμολογίαν τε Χριστοῦ, ἵνα Λόγου Θεοῦ ἀπολαύσωμεν.

**Θεοτοκίον.**

Χριστόμορφε τῶν Μαρτύρων δύναμις, Θεοτόκε Ἐκκλησίας ἡ βάσις, τῶν εὐσεβῶν, προστασία καὶ σκέπη, καὶ ἀσθενούντων ἀντί-

www.tezaurliturgic.ro



ληψις ἕτοιμος, ἱκέτευε τὸν σὸν Υἱόν, ἐκ παθῶν τοὺς σοὺς δούλους λυτρώσασθαι.

Στερέωσον, ἐν ἀγωνίσμασιν πάντας τοὺς ἀθλουμένους· σὲ γὰρ Χρῆστε πρὸς τὸν Χριστόν ἱκέτην προβάλλομεν, ὡς ἔχοντα μάρτυρος παῤῥησίαν.

Στερέωσον, τοὺς ὀρθοδόξως τιμῶντάς σε Θεοτόκε, ἐν τῇ πίστει τοῦ σοῦ Υἱοῦ καὶ βίου παλαίσμασιν, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Αἴτησις καὶ τὸ Κοντάκιον.**
**Ἦχος β΄.** *Προστασία τῶν χριστιανῶν.*

Νεομάρτυς Πρεβέζης καὶ Κῶ ἐγκαλλώπισμα, τῶν πιστῶν δὲ ὑπάρχεις ζωῆς καταφύγιον, τῇ ἐκχύσει ὑπὲρ Χριστοῦ τοῦ αἵματος τοῦ σοῦ· διὸ ἔλαβες παρὰ Θεοῦ, τὴν ἀτελεύτητον ζωήν, καὶ χαρὰν ἀνεκλάλητον. Σπεῦσον εἰς ἱκεσίαν, ὑπὲρ τῶν σὲ εὐφημούντων, πρὸς τὸν Θεάνθρωπον Χριστόν, μάρτυς Χρῆστε θεοτίμητε.

**Προκείμενον.**

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.
**Στίχος.** *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

**Εὐαγγέλιον (Μαρτυρικόν).**
(Λουκ. κα΄, 12 - 19).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

www.tezaurliturgic.ro



**Δόξα.**

Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Προσόμοιον.**

**Στίχος:** *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

**Ἦχος πλ. β΄.** *Ὅλην ἀποθέμενοι.*

Χρῆστον νεομάρτυρα, τὸν ἀθλητὴν τοῦ Κυρίου, ἐν ψαλμοῖς ὑμνήσωμεν, φιλεόρτων σύλλογος καὶ τιμήσωμεν· εἰς Χριστὸν ἔδραμε, καὶ ἐν Κῷ τῇ νήσῳ, τὸν Χριστὸν καθωμολόγησε, Θεὸν καὶ Κύριον, λυτρωτὴν τοῦ κόσμου φιλάνθρωπον· διὸ καὶ ἐμαρτύρησεν, εἰσελθὼν εἰς τόπον ἀνέσεως· ἔνθα ἱκετεύει, τὸν Κύριον λυτρώσασθαι ἡμᾶς, τοὺς τὴν σεπτήν ἑορτὴν αὐτοῦ, πόθῳ ἑορτάζοντας.

**Σῶσον ὁ Θεὸς τὸν λαόν Σου...**

**Ὠδὴ ζ΄. Ὁ Εἱρμός.** *Οἱ ἐκ τῆς Ἰουδαίας.*

Οὐρανός σε ἐδέξω, Χρῆστε ἔνδοξε μάρτυς, καὶ τῶν ἁγίων χορός, μεθ' ὧν συνεορτάζεις, ὑμνῶν τὸν ἐν Τριάδι, Ὁμοούσιον Κύριον· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὑπακούων ὁ Μάρτυς, τοῖς Χριστοῦ θείοις λόγοις, ὁμολογεῖ εὐθαρσῶς, καλῶν τοὺς ὀρθοδόξους, συμψάλλειν ὁμοφρόνως, καὶ βοᾶν μετὰ πίστεως· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Νικηφόρως ὁ Μάρτυς, ἐναθλῶν ἐν σταδίῳ, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, συνήγειρε τὸν κόσμον, γεραίρειν τὸν Σωτῆρα, καὶ συμψάλλειν ἐν χάριτι· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

www.tezaurliturgic.ro



**Θεοτοκίον.**

Ἱλασμὸν καταπέμπει, τοῖς βροτοῖς Θεοτόκε ὁ σὸς Υἱὸς καὶ Θεός, πρεσβείαις σου ἀπαύστοις, πρὸς Ὃν πανευγνωμόνως ἐν ᾠδαῖς πάντες ψάλλομεν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Ὠδὴ η΄. Ὁ Εἱρμός.** *Τὸν Βασιλέα.*

Κατανικᾶται, ὁ Ἀρχηγὸς τῶν δαιμόνων, ὑπὸ μάρτυρος Χρήστου ὑμνοῦντος, καὶ ὑπερυψοῦντος Χριστὸν εἰς τοὺς αἰῶνας.

Οὐρανοδρόμος, ὁ Νεομάρτυς ἐδείχθη, μιμηθεὶς τῶν μαρτύρων τὰ πάθη, πάντων ἀνυμνούντων, Χριστὸν εἰς τοὺς αἰῶνας.

Διακηρύττει, ὁ Νεομάρτυς τὴν πίστιν, τοῦ Χριστοῦ καὶ τὴν ἄῤῥητον χάριν, Οὗ τὴν θείαν δόξαν, ὑμνοῦμεν εἰς αἰῶνας.

**Θεοτοκίον.**

Ἠγαπημένη, παρὰ Θεοῦ σὺ ὑπάρχεις, Θεοτόκε ὡς τέξασα Λόγον, Ὃν σὺν Ἀσωμάτοις, ὑμνεῖς εἰς τοὺς αἰῶνας.

**Ὠδὴ θ΄. Ὁ Εἱρμός.** *Κυρίως Θεοτόκον.*

Μετάδος μοι τὸν ζῆλον, τῆς ὁμολογίας, καὶ τῆς θυσίας σου Μάρτυς, πρὸς δόξαν Θεοῦ, σαῖς ἱκεσίαις πρὸς Κύριον, Χρῆστε ἔνδοξε.

Ὁρῶμεν ἐν ἁγίοις, Χρῆστον ἐκ Πρεβέζης, κατατρυφῶντα τῆς θείας χαρᾶς καὶ ζωῆς, σὺν Πρωτοτόκοις καὶ πᾶσι τοῖς ἐναθλήσασιν.

Ὑμνοῦμεν θεοφρόνως, Χρήστου μαρτυρίαν, ὁμολογίαν θυσίαν καὶ πάθος σεπτόν, καὶ εὐφημοῦμεν ἐνθέως αὐτοῦ τελείωσιν.

**Θεοτοκίον.**

Ἀξίως τὸν Υἱόν σου, Ἁγνὴ εὐφημοῦμεν, τὸν γεννηθέντα ἀφράστως ἐκ σοῦ ὡς βροτόν, πρὸς σωτηρίαν τοῦ κόσμου καὶ ἀπολύτρωσιν.

www.tezaurliturgic.ro



**Σῶσον ὁ Θεὸς τὸν λαόν Σου...**

**Ἄξιόν ἐστιν...Καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Χρῆστον νεομάρτυρα τοῦ Χριστοῦ, Πρεβέζης τὸν γόνον, μαρτυρήσαντα ἐν τῇ Κῷ, τιμήσωμεν ὕμνοις, καὶ λόγοις ἐγκωμίων, κηρύττοντες ἐμφρόνως, αὐτοῦ τὴν ἄθλησιν.

Τὸν ἐν νεομάρτυσιν θαυμαστόν, Χρῆστον εὐφημοῦμεν, ἀφομοίωμα τοῦ Χριστοῦ, τὸν κεκοσμημένον, σεμνότητι ἁγίᾳ, ἁγνότητι καὶ πίστει, δυνάμει Πνεύματος.

Ὕμνοις εὐφημήσωμεν εὐλαβῶς, τὸν μάρτυρα Χρῆστον, τὸν θεόφρονα καὶ σεμνόν, ὡς ἀμνὸν τυθέντα, ὑπὲρ τοῦ Θεανθρώπου, ἐν Κῷ θείᾳ δυνάμει, τὸν θεοτίμητον.

Φύλαττε καὶ σκέπε Χρῆστε πιστούς, τοὺς ἐμμελετῶντας, τὴν σὴν ἄθλησιν καὶ ζωήν, ἐκ πάσης ἀνάγκης, παθῶν καὶ ἁμαρτίας, καὶ πάσης ἀσθενείας, καὶ περιστάσεως.

Τὸν ἀναιρεθέντα διὰ πυρός, Χρῆστον τὸν προστάτην, τῆς Πρεβέζης καὶ νήσου Κῶ, ἐν ὕμνοις τιμῶμεν, καὶ λόγοις εὐφημοῦμεν, ὡς μάρτυρα Κυρίου, περιφανέστατον.

Δίδαξόν με Χρῆστε ὁμολογεῖν, Τριάδος Μονάδα, τὸν Πατέρα καὶ τὸν Υἱόν, καὶ Πνεῦμα τὸ θεῖον, Μονάδα κατ᾽ οὐσίαν, τὸν μόνον Ζωοδότην, Θεὸν καὶ Κύριον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον. Καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος πλ. α΄.** *Τὸν συνάναρχον Λόγον.*

Νεομάρτυρα Χρῆστον, Πρεβέζης βλάστημα, τὸν μαρτυρίῳ ἐνθέῳ τελειωθέντα ἐν Κῷ, εὐφημήσωμεν λαμπρῶς, καὶ ἀνυμνήσωμεν·

www.tezaurliturgic.ro



ὅτι ἠγάπησε Χριστὸν καὶ βιοτὴν πνευματικήν, καὶ πόλιν τὴν αἰωνίαν· διὸ δόξης κατηξιώθη, καὶ μακαρίας ἐν Παραδείσῳ ζωῆς.

**Ἐκτενὴς καὶ Ἀπόλυσις. Μεθ' ἣν ψάλλομεν.**
**Ἦχος β'.** *Ὅτε ἐκ τοῦ ξύλου.*

Δεῦτε τῆς Πρεβέζης τὸν βλαστόν, Χρῆστον νεομάρτυρα πάντες, λαμπρῶς τιμήσωμεν, χάριτι κοσμούμενον, καὶ δοξαζόμενον, ὡς Χριστοῦ ἀφομοίωμα, καὶ μάρτυρα θεῖον, δώματα κατέχοντα τὰ ἐπουράνια· ἔνθα ἱκετεύει ἀπαύστως, Λόγον τὸν φιλάνθρωπον δοῦναι, τοῖς αὐτὸν τιμῶσιν ἀπολύτρωσιν.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**ΤΕΛΟΣ**

**ΚΑΙ ΤΩ ΠΡΩΤΟΜΑΡΤΥΡΙ**

**ΧΡΙΣΤΩ ΤΩ ΑΘΛΟΘΕΤΗ**

**ΔΟΞΑ**



www.tezaurliturgic.ro

